𝔊 καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθάπερ ἑωράκατε ὅτι ἀπέστη ἀπ᾽ ἐμοῦ
τὸ πρᾶγμα· καθάπερ οὖν προστέταχα, οὕτως ἔσται· [9]ἐὰν μὴ τὸ 9
ἐνύπνιον ἀπαγγείλητέ μοι ἐπ᾽ ἀληθείας καὶ τὴν τούτου σύγκρισιν
δηλώσητε, θανάτῳ περιπεσεῖσθε· συνείπασθε γὰρ λόγους ψευδεῖς
ποιήσασθαι ἐπ᾽ ἐμοῦ, ἕως ἂν ὁ καιρὸς ἀλλοιωθῇ· νῦν οὖν ἐὰν τὸ
ῥῆμα εἴπητέ μοι, ὃ τὴν νύκτα ἑώρακα, γνώσομαι ὅτι καὶ τὴν τούτου
κρίσιν δηλώσετε. [10]καὶ ἀπεκρίθησαν οἱ Χαλδαῖοι ἐπὶ τοῦ βασιλέως 10
ὅτι Οὐδεὶς τῶν ἐπὶ τῆς γῆς δυνήσεται εἰπεῖν τῷ βασιλεῖ ὃ ἑώρακε,
καθάπερ σὺ ἐρωτᾷς, καὶ πᾶς βασιλεὺς καὶ πᾶς δυνάστης τοιοῦτο
πρᾶγμα οὐκ ἐπερωτᾷ πάντα σοφὸν καὶ μάγον καὶ Χαλδαῖον· [11]καὶ 11
ὁ λόγος, ὃν ζητεῖς, βασιλεῦ, βαρύς ἐστι καὶ ἐπίδοξος, καὶ οὐδείς
ἐστιν, ὃς δηλώσει ταῦτα τῷ βασιλεῖ, εἰ μήτι ἄγγελος, οὗ οὐκ ἔστι
κατοικητήριον μετὰ πάσης σαρκός· ὅθεν οὐκ ἐνδέχεται γενέσθαι
καθάπερ οἴει. [12]τότε ὁ βασιλεὺς στυγνὸς γενόμενος καὶ περίλυπος 12
προσέταξεν ἐξαγαγεῖν πάντας τοὺς σοφοὺς τῆς Βαβυλωνίας· [13]καὶ 13
ἐδογματίσθη πάντας ἀποκτεῖναι, ἐζητήθη δὲ ὁ Δανιηλ καὶ πάντες
οἱ μετ᾽ αὐτοῦ χάριν τοῦ συναπολέσθαι. [14]τότε Δανιηλ εἶπε βουλὴν 14
καὶ γνώμην, ἣν εἶχεν, Αριώχῃ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ᾧ

9 γνωσομαι] pr. τοτε Sy | fin. δηλωσετε Ra.] -σητε 88

---

θ′ ἐγὼ ὅτι καιρὸν ὑμεῖς ἐξαγοράζετε, καθότι εἴδετε ὅτι ἀπέστη ἀπ᾽
ἐμοῦ τὸ ῥῆμα· [9]ἐὰν οὖν τὸ ἐνύπνιον μὴ ἀναγγείλητέ μοι, οἶδα 9
ὅτι ῥῆμα ψευδὲς καὶ διεφθαρμένον συνέθεσθε εἰπεῖν ἐνώπιόν μου,
ἕως οὗ ὁ καιρὸς παρέλθῃ· τὸ ἐνύπνιόν μου εἴπατέ μοι, καὶ γνώ-
σομαι ὅτι τὴν σύγκρισιν αὐτοῦ ἀναγγελεῖτέ μοι. [10]ἀπεκρίθησαν οἱ 10
Χαλδαῖοι ἐνώπιον τοῦ βασιλέως καὶ λέγουσιν Οὐκ ἔστιν ἄνθρωπος
ἐπὶ τῆς ξηρᾶς, ὅστις τὸ ῥῆμα τοῦ βασιλέως δυνήσεται γνωρίσαι,
καθότι πᾶς βασιλεὺς μέγας καὶ ἄρχων ῥῆμα τοιοῦτο οὐκ ἐπερωτᾷ
ἐπαοιδόν, μάγον καὶ Χαλδαῖον· [11]ὅτι ὁ λόγος, ὃν ὁ βασιλεὺς ἐπ- 11
ερωτᾷ, βαρύς, καὶ ἕτερος οὐκ ἔστιν, ὃς ἀναγγελεῖ αὐτὸν ἐνώπιον
τοῦ βασιλέως, ἀλλ᾽ ἢ θεοί, ὧν οὐκ ἔστιν ἡ κατοικία μετὰ πάσης
σαρκός. [12]τότε ὁ βασιλεὺς ἐν θυμῷ καὶ ὀργῇ πολλῇ εἶπεν ἀπ- 12
ολέσαι πάντας τοὺς σοφοὺς Βαβυλῶνος· [13]καὶ τὸ δόγμα ἐξῆλθεν, 13
καὶ οἱ σοφοὶ ἀπεκτέννοντο, καὶ ἐζήτησαν Δανιηλ καὶ τοὺς φίλους
αὐτοῦ ἀνελεῖν. [14]τότε Δανιηλ ἀπεκρίθη βουλὴν καὶ γνώμην τῷ 14
Αριωχ τῷ ἀρχιμαγείρῳ τοῦ βασιλέως, ὃς ἐξῆλθεν ἀναιρεῖν τοὺς

8 ειδετε] οιδατε A || 9 αναγγειλητε] απαγγ. A: cf. 16 || 10 απεκριθ. BQ†] + παλιν rel. | το ρημα του βασ. / δυνησεται] tr. A | και ult. > A || 12 πολλη > B*A† || 14 αναιρειν] ανελειν A